τὸν θεῖον τοῦ Χριστοῦ ἀμπελῶνα, τὴν ἐκκλησίαν· τῷ τοι προσήκει καὶ ὑμᾶς ἅπαντας τοὺς ἀπὸ Χριστοῦ κεκλημένους, καὶ μάλιστα τοὺς τοῦ θείου βήματος, ὁρᾷν καὶ γινώσκειν τὰς τῶν τοιούτων αἱρετικῶν μηχανάς, καὶ ζῆλον Χριστοῦ ἔχοντας ἀποστομίζειν καὶ ἀπελέγχειν γραφικῶς τοὺς τοιούτους αἱρετικούς. Γίνεσθε, γάρ φησιν ὁ θεῖος Ἀπόστολος, ἕτοιμοι πρὸς ἀπολογίαν παντὶ τῷ αἰτοῦντι λόγον (Α΄ Πέτρου γ΄ 15). Ὥσπερ γὰρ στρατιώτης γενναῖος ὅπλοις περιφραττόμενος, ἄτρωτος μὲν αὐτὸς διαμένει ἐν τοῖς πολέμοις καὶ τοῖς ὁμοφύλοις βοηθὸς ἐνυπάρχει, οὕτω καὶ ψυχὴ εὐσεβὴς ζῆλον Χριστοῦ κεκτημένη καὶ τῇ γνώσει τῶν θείων δογμάτων καὶ ταῖς ἀναγνώσεσι περιφραττομένη, ἄτρωτος μὲν αὐτὴ διαμένει ἐν τοῖς τῶν αἱρετιζόντων ἀπατηλοῖς σοφίσμασι καὶ μηχανουργίαις καὶ τοῖς λοιποῖς ὀρθοδόξοις βοηθὸς ἐνυπάρχει καὶ στήριγμα πρὸς εὐσέβειαν. Ἡμεῖς μὲν οὖν, ὦ πᾶσα ἡ τοῦ Χριστοῦ ἐκκλησία, ἡ τὸν λόγον τῆς εὐσεβείας ὀρθοτομοῦσα καὶ τῇ ὀρθοδοξίᾳ κεκοσμημένη, γεγραφηκότες ἀντιρρητικῶς πρὸς τὰ τῶν αἱρετιζόντων προβλήματα τὰ τοιαῦτα τριακοντατρία κεφάλαια, οἷς κεφαλαίοις ἡ βίβλος δήλωσίς ἐστι τῶν τε προβλημάτων τῆς δυσσεβείας καὶ τῶν δογμάτων ἅμα τῆς εὐσεβείας, ἐπιστέλλομεν πρὸς ὑμᾶς, τὸ ἀσφαλὲς ὑμῶν προνοούμενοι· ὀφείλετε δὲ καὶ αὐτοί, ὅσοι τῶν ἄλλων θερμώτεροι τὴν εὐσέβειαν, μεταδιδόναι τοῖς λοιποῖς ἀδελφοῖς τὴν τοιαύτην βίβλον γεγραφηκότες, τὸ ἀσφαλὲς προνοούμενος ἕκαστος τοῦ ἑτέρου, καὶ οὕτω νόμον ἀποπληροῦντες Χριστοῦ, εἴτε ὑπ' αὐτοῦ φιλαττόμενοι ἀπὸ πάσης ὁρατῆς τε καὶ ἀοράτου τοῦ ἐχθροῦ προσβολῆς τε καὶ ἐπηρείας. Ἐξεδόθη τὸ παρὸν κατὰ μῆνα Αὔγουστον τῆς Θ΄ Ἰνδικτ. ἔτους ,ςψπθ΄. Εἶχε δὲ δι' οἰκειοχείρου ὑπογραφῆς τό, Ὁ ταπεινὸς Γρηγόριος ἐλέῳ Θεοῦ Πατριάρχης Ἱεροσολύμων". (α).

(α) Χειρόγρ. Μαρκιαν. βιβλιοθ. ἀριθ. 153 σελ. 185.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ